λοὺς· θάῤῥει μόνον, καὶ φαιδρὸς ἴσθι, καὶ μηδὲν ἐπιπόθει τῶν κάτω.

ΓΑΝ. Τί δὲ ὑμῖν χρήσιμος ἂν γενοίμην; ἢ ποιμαίνειν δεήσει κἀνταῦθα;

ΖΕΥΣ. Οὐκ· ἀλλ' οἰνοχοήσεις, καὶ ἐπὶ τοῦ νέκταρος τετάξῃ, καὶ ἐπιμελήσῃ τοῦ συμποσίου.

ΓΑΝ. Τοῦτο μὲν οὐ χαλεπὸν, 10) οἶδα γὰρ, ὡς χρὴ ἐγχέαι τὸ γάλα, καὶ ἀναδοῦναι τὸ κισσύβιον.

ΖΕΥΣ. Ἰδοὺ, πάλιν οὗτος γάλακτος μνημονεύει, καὶ ἀνθρώποις διακονήσεσθαι οἴεται· ταυτὶ δ' οὐρανός ἐστι, καὶ πίνομεν, ὥςπερ ἔφην, τὸ νέκταρ.

ΓΑΝ. Ἥδιον, ὦ Ζεῦ, τοῦ γάλακτος; 11)

ΖΕΥΣ. Εἴσῃ μετ' ὀλίγον, καὶ γευσάμενος οὐκ ἔτι ποθήσεις τὸ γάλα.

ΓΑΝ. Κοιμήσομαι δὲ ποῦ τῆς νυκτὸς; ἢ μετὰ τοῦ ἡλικιώτου Ἔρωτος;

ΖΕΥΣ. Οὐκ· ἀλλὰ διὰ τοῦτό σε ἀνήρπασα, ὡς ἅμα καθεύδοιμεν.

ΓΑΝ. Μόνος γὰρ οὐκ ἂν δύναιο, ἀλλ' ἥδιόν σοι καθεύδειν μετ' ἐμοῦ;

ΖΕΥΣ. Ναί, μετά γε τοιούτου, οἷος εἶ σὺ, Γανύμηδες, οὕτω καλός.

ΓΑΝ.

10) οιδα γαρ-) Fallor vero, an Luc. reſpexit ad ſuauiſſimum illum locum in *Xenophonte*, (Κυρ. Παιδ. I. cap. 3.) vbi Cyrus puer, eadem ſe, quae Sacas, pincerna, facturum ſe eſſe, promittit auo.

11) Ηδιον-του γαλακτος) Mire πρεπει!